τοῦτο αὐτό, ὃ συνεπέρανεν ὁ πρῶτος λόγος, φανερόν ἐστι καὶ διὰ τῆς πείρας, ὅτι τὸ φῶς καὶ τὸ σκότος, ἡ ὀσμὴ καὶ ὁ ψόφος οὐδὲν ἀποτέλεσμα ποιοῦσιν εἰς τὰ αἰσθητὰ εἰ μὴ ἴσως κατὰ συμβεβηκός, καθόσον τὰ ἔχοντα τὰς τοιαύτας ποιότητας σώματα δρῶσί τι, ὥσπερ ὁ ἀήρ, ὅς, ὅταν ᾖ βροντή, σχίζει τὸ ξύλον. Τὸ τοίνυν ξύλον πάσχει οὐχ ὑπὸ τοῦ ψόφου καθαυτό, ἀλλ' ὑπὸ τοῦ κινηθέντος ἀέρος.

Ἀλλὰ τὰ ἁπτά. Ἐνταῦθα, τρίτον, δείκνυσιν ὅτι ἄλλως ἔχει ἐπὶ τῶν ἁπτῶν ποιοτήτων, καὶ φησὶν ὅτι τὰ ἁπτὰ καὶ οἱ χυμοὶ ποιοῦσιν ἀποτέλεσμά τι ἐν τοῖς αἰσθητοῖς. Ἀλλὰ τοῦτο δεῖ νοεῖν περὶ τῶν χυμῶν, οὐ καθόσον εἰσὶ χυμοί, ἀλλὰ καθόσον τὸ γευστόν ἐστιν ἁπτόν τι καὶ ἡ γεῦσις ἁφή τις. Εἰ γὰρ τὰ ἀναίσθητα σώματα μὴ πάσχουσιν ὑπὸ τῶν αἰσθητῶν, οὐκ ἂν εἴη τιθέναι ὑφ' οὗ πάσχοιεν ἂν καὶ ἀλλοιοῖντο τὰ ἄψυχα. Τὰ γὰρ ἁπτὰ εἰσι ποιότητες δραστικαὶ καὶ παθητικαὶ τῶν στοιχείων, καθ' ἃς συμβαίνει καθόλου ἡ ἀλλοίωσις ἐν τοῖς σώμασιν.

Ἆρ' οὖν. Ἐνταῦθα, τέταρτον, δείκνυσιν ὅτι καὶ τὰ ἄλλα αἰσθητὰ δρῶσιν εἴς τινα πράγματα ἄψυχα, εἰ καὶ μὴ εἰς πάντα, λέγων· Ἆρ' οὖν οὐδὲ ἐκεῖνα, τουτέστι τὰ ἄλλα αἰσθητά, ποιοῦσιν ἀποτέλεσμά τι εἰς τὰ ἄψυχα πράγματα, ὡσανεὶ λέγων ὅτι ναί. Ἀλλ' ὅμως οὐ πᾶν σῶμα παθητικόν ἐστιν ὑπ' ὀσμῆς καὶ ψόφου, ὥσπερ πᾶν σῶμα παθητικόν ἐστιν ὑπὸ θέρμης καὶ ψύχους, ἀλλ' ὑπὸ τούτων τῶν αἰσθητῶν πάσχειν δύνανται μόνον τὰ ἀόριστα σώματα καὶ μὴ διαμένοντα, οἷον ἀὴρ καὶ ὕδωρ, ἅτινα εἰσὶν ὑγρὰ καὶ ἀόριστα ὅρῳ ἰδίῳ. Καὶ ὅτι ὁ ἀὴρ δύναται πάσχειν ὑπὸ ὀσμῆς, φανερόν, διότι ὁ ἀὴρ ὄζει ὥσπερ πάσχων τι ὑπ' ὀσμῆς. Ἡ δὲ αἰτία τῆς τοιαύτης διαφορᾶς ἐστίν, ὅτι αἱ ποιότητες αἱ ἁπταὶ εἰσὶ τὸ εἶναι τῶν ἄλλων αἰσθητῶν, καὶ διὰ τοῦτο ἔχουσι πλέον τῆς δραστικῆς δυνάμεως καὶ δύνανται δρᾶν εἰς πάντα τὰ σώματα. Ἀλλὰ τὰ ἄλλα αἰσθητά, διὰ τὸ ἔχειν ἧττον τῆς δραστικῆς | δυνάμεως, οὐ δύνανται δρᾶν εἰ μὴ εἰς τὰ f. 322
σώματα τὰ λίαν παθητά. Ὁ δ' ὅμοιος λόγος ἐστὶ καὶ περὶ τοῦ φωτὸς τῶν οὐρανίων σωμάτων, ὅπερ ἀλλοιοῖ τὰ ὑποκάτω σώματα.

Τί οὖν ἐστιν. Ἐνταῦθα, πέμπτον, λύει τὸν προεκτεθειμένον λόγον λέγων· εἴ γε πάσχει τι ὑπ' ὀσμῆς, ὅπερ οὐκ ὀσφραίνεται, τί ἐστι τὸ ὀσφραίνεσθαι εἰ μὴ τὸ πάσχειν τι ὑπ' ὀσμῆς; Καὶ ἀποκρίνεται, ὅτι τὸ ὀσμᾶσθαι ἐστὶ τὸ οὕτω πάσχειν τι ὑπ' ὀσμῆς, αἰσθανόμενον ὀσμῆς. Ὁ δὲ ἀὴρ οὐχ οὕτω πάσχει ὥστε αἰσθάνεσθαι, διότι οὐκ ἔχει δύναμιν αἰσθητικήν, ἀλλ' οὕτω πάσχει ὥστε εἶναι αἰσθητός, καθόσον δηλονότι μέσος ἐστὶν ἐν τῇ αἰσθήσει.

Τέλος τῆς εἰς τὸν δεύτερον ἐξηγήσεως.

---

21 *ὁ ἀὴρ καὶ τὸ* B  30 *πέμπτον: ἕκτον* B  37 *Τέλος σὺν Θεῷ τοῦ δευτέρου* B

# Livre troisième.

## † ΤΟΥ ΑΥΤΟΥ ἘΞΗΓΗΣΙΣ ΕΙΣ ΤΟΝ ΤΡΙΤΟΝ ΠΕΡΙ ΨΥΧΗΣ ΛΟΓΟΝ ἈΡΙΣΤΟΤΕΛΟΥΣ.

### Leçon I.

Ὅτι δ' οὐκ ἔστιν αἴσθησις. Ἐντεῦθεν ἄρχεται τὸ τρίτον βιβλίον κατὰ τοὺς Γραικούς, καὶ πάνυ εὐλόγως. Ἐντεῦθεν γὰρ ὁ Φιλόσοφος χωρεῖ πρὸς τὸ ἀνιχνεύειν περὶ τοῦ νοῦ. Γεγόνασι γάρ τινες τιθέντες τὴν αἴσθησιν καὶ τὸν νοῦν τὸ αὐτὸ εἶναι. Φανερὸν δέ ἐστιν ὅτι ὁ νοῦς οὐκ ἔστιν ἐκ τῶν ἐξωτερικῶν αἰσθήσεων, περὶ ὧν εἴρηται πρότερον, διότι οὐ συνέλκονται πρὸς τὸ γινώσκειν ἕν τι γένος τῶν αἰσθητῶν. Ὅθεν λείπεται ζητεῖν εἰ ἐν τῷ αἰσθητικῷ μέρει ἔστι τις ἄλλη γνωστικὴ δύναμις, ὡς ἂν ἐντεῦθεν δυνηθῇ λαβεῖν πότερον ὁ νοῦς ἐστιν αἴσθησις τρόπῳ τινί, ἢ μή. Διαιρεῖται τοίνυν τοῦτο τὸ μέρος εἰς τρία· πρῶτον, ζητεῖ εἰ ἔστιν ἄλλη τις αἴσθησις παρὰ τὰς πέντε τὰς ἔξω αἰσθήσεις, περὶ ὧν ἤδη εἴρηται· δεύτερον, δείκνυσιν ὅτι ὁ νοῦς καὶ ἡ αἴσθησις οὐδενὶ τρόπῳ δύνανται εἶναι τὸ αὐτό· τρίτον, δεδειγμένου τοῦ τὸν νοῦν μὴ εἶναι αἴσθησιν, διορίζεται περὶ τοῦ νοεροῦ μέρους τῆς ψυχῆς.

Ἐν τῷ περὶ δὲ τοῦ. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι οὐκ ἔστιν ἄλλη αἴσθησις ἰδία παρὰ τὰς πέντε τὰς εἰρημένας· δεύτερον, δείκνυσι παρὰ τὰς ἰδίας αἰσθήσεις εἶναι κοινὴν αἴσθησιν, ἐν τῷ· . . . . Περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, δείκνυσιν, ὅτι οὐκ ἔστιν ἄλλη αἴσθησις παρὰ τὰς πέντε· δεύτερον, διὰ τί εἰσι πλείους, καὶ οὐ μία μόνον ἐν τῷ· . . . . Καὶ περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι οὐκ ἔστιν ἄλλη αἴσθησις παρὰ τὰς πέντε, γνωστικὴ τῶν αἰσθητῶν δυνάμεων· δεύτερον, ὅτι οὐκ ἔστιν ἄλλη αἴσθησις παρὰ τὰς πέντε, ἧς εἴη ἀντικείμενον τὰ κοινὰ αἰσθητά, ἐν τῷ· . . . .

Περὶ τὸ πρῶτον χρῆται τοιούτῳ λόγῳ. Πᾶν ὅπερ ἔχει αἰσθήσεως ὄργανόν τι δι' οὗ πεφύκασι γινώσκεσθαι αἰσθητά τινα, γινώσκει πάντα τὰ αἰσθητὰ τὰ πεφυκότα γινώσκεσθαι διὰ τούτου τοῦ ὀργάνου. Ἀλλὰ τὰ τέλεια ζῷα ἔχουσι πάντα τὰ ὄργανα τῆς αἰσθήσεως. Γινώσκουσιν ἄρα πάντα τὰ αἰσθητά. Ἐπεὶ τοίνυν οὐκ ἔχουσιν εἰ μὴ πέντε αἰσθήσεις, οὐκ ἔστιν ἄλλη αἴσθησις ὡς πρὸς τὰ ἴδια αἰσθητὰ παρὰ τὰς πέντε. Περὶ δὲ τὸν λόγον τοῦτον τούτῳ τῷ τρόπῳ προχωρεῖ· πρῶτον, τίθησι τὸν σκοπὸν αὐτοῦ· δεύτερον, φανεροῖ τὴν πρώτην πρότασιν τοῦ εἰσαχθέντος λόγου,

---

1 Ce titre dans A, presque illisible om B 8 *ὅτε* après *εἴρηται* suivi d'un blanc B 8-9 *πρότερον — αἰσθητῶν* om B 17 *πάλιν* avant *δύο* add B 19 *ἐν τῷ*: ,... Référence à Aristote omise A *καὶ* B 20 *αὖθις*: *πάλιν* B *δείκνυσιν* om A

ἐν τῷ· Εἰ γὰρ παντός· τρίτον, τίθησι τὴν δευτέραν πρότασιν μετὰ τῆς κατασκευῆς αὐτῆς, ἐν τῷ· Τῶν δ' ἁπλῶν. Φησὶ τοίνυν, πρῶτον, ὅτι ἐκ τῶν ἑπομένων δυνατόν τινα ἱκανῶς κινηθῆναι πρὸς τὸ πιστεύειν, ὅτι οὐκ ἔστιν ἄλλη αἴσθησις παρὰ τὰς πέντε τὰς ἤδη εἰρημένας, καὶ τοῦτ' ἔστιν ὅ φησιν· Ὅτι δ' οὐκ ἔστιν.

Εἰ γὰρ παντός. Ἐνταῦθα, δεύτερον, φανεροῖ τὴν πρώτην πρότασιν τοῦ λόγου ταύτην, δηλονότι τὴν ὅτι τὸ ζῷον τὸ ἔχον ὄργανον αἰσθήσεως γινώσκει πάντα τὰ αἰσθητὰ τὰ γινώσκεσθαι δυνάμενα, ἢ αἰσθάνεσθαι δι' ἐκείνου τοῦ ὀργάνου. Καὶ τοῦτο φανεροῖ ἐν τῇ τῆς ἁφῆς αἰσθήσει, διότι φανερόν ἐστιν εἶναι ἁπτὰς ποιότητας· εἴρηται γὰρ ἀνωτέρω ὅτι αἱ ἁπταὶ ποιότητες εἰσὶν ἐκ τοῦ στοιχειωτοῦ σώματος, καθόσον τοιοῦτον, αἵτινες φανεραί εἰσι τοῖς ἐκ τῶν στοιχείων συγκειμένοις. Ὅθεν φανερὸν ἡμῖν δύναται εἶναι, ὅτι ἡμεῖς αἰσθανόμεθα πασῶν τῶν ἁπτῶν ποιοτήτων, καὶ ἐκ τούτου συμβαίνει διά τινος ὁμοιότητος καὶ ἐπὶ τῶν ἄλλων, ὅτι ἂν ἔχωμεν ὄργανόν τι, ἕξομεν αἴσθησιν ἐκείνων τῶν αἰσθητῶν, ἃ πεφύκασι γινώσκεσθαι διὰ τούτου τοῦ ὀργάνου. Τοῦτο τοίνυν ἐστὶν ὅ φησιν, ὅτι ἂν ἔχωμεν αἴσθησιν παντὸς αἰσθητοῦ, οὗτινος ἡ ἁφή ἐστιν ἀναληπτική, ὅπερ ἐντεῦθεν φαίνεται ἐκ τοῦ πάντα τὰ ἁπτὰ πάθη καθὸ τοιαῦτα αἰσθάνεσθαι ὑφ' ἡμῶν, ἀνάγκη ἐστὶ καθόλου λέγειν ὅτι, ἂν ἐκλείπῃ ἡμῖν αἴσθησίς τις τινῶν αἰσθητῶν, καὶ ὄργανόν τι ἡμῖν ἐλλείπει, ᾧ | πεφύκασι f. 322ᵛ
γινώσκεσθαι ἐκεῖνα τὰ αἰσθητά, διότι εἰ ἔχοιμεν ὄργανον, γινώσκοιμεν ἂν τὰ αἰσθητά. Καὶ διότι τοῦτο καθόλου εἴρηται, φανεροῖ παραδειγματίζων διὰ τῶν καθέκαστον, καὶ πρῶτον ὅσον πρὸς τὰ γινωσκόμενα ἄνευ μέσου ἐξωτερικοῦ. Καὶ τοῦτ' ἐστὶν ὅ φησιν, ὅτι ὅσων μὲν αὐτοὶ αἰσθανόμεθα ἁπτόμενοι, τουτέστιν ἄνευ μέσου ἐξωτερικοῦ, ταῦτα δύνανται αἰσθάνεσθαι διὰ τοῦ ὀργάνου τῆς ἁφῆς, ἣν ἔχομεν. Ἀλλὰ περὶ τὰ αἰσθητά, ὧν αἰσθανόμεθα διὰ μέσων ἐξωτερικῶν, ἅπερ εἰσὶ τὰ ἁπλὰ σώματα, δηλονότι ἀὴρ καὶ ὕδωρ, καὶ οὐκ αἰσθανόμεθα αὐτῶν ἁπτόμενοι, οὕτως ἔχει ὥστε, εἰ μὲν δι' ἑνὸς ὀργάνου πλείω αἰσθητὰ καὶ διαφέροντα ἀλλήλων τῷ γένει αἰσθάνεσθαι δύνανται, ἀνάγκην εἶναι τὸν ἔχοντα τὸ τοιοῦτον ὄργανον αἰσθάνεσθαι ἑκατέρου γένους, οἷον εἴ τι ὄργανον ἐστὶν ἐξ ἀέρος, καὶ ὁ ἀὴρ δύναται μεταβάλλεσθαι ὑπὸ χρώματος καὶ ψόφου, ἕπεται τὸν ἔχοντα τὸ τοιοῦτον ὄργανον δύνασθαι καὶ ψόφου καὶ χρώματος μεταλαμβάνειν. Εἰ δὲ τοὐναντίον πλείω ὄργανα εἰσὶ δεκτικὰ τοῦ αὐτοῦ αἰσθητοῦ, ὥσπερ ὁ ἀὴρ καὶ τὸ ὕδωρ, ὧν ἑκάτερον ἐστὶ διαφανές, δεκτικὰ εἰσὶ τοῦ χρώματος, ἕπεται τὸ ζῷον, τὸ ἔχον θάτερον αὐτῶν, δύνασθαι μετέχειν τοῦ δι' ἀμφοῖν δεκτοῦ ὥσπερ διὰ μέσων, ἢ ὑπ' ἀμφοῖν ὡς ὑπ' ὀργάνων· ὅπερ διὰ τοῦτο

1 *τρίτον*: *δεύτερον* B 11-12 *αἵτινες — συγκειμένοις* en marge A; dans le texte, qui n'a pas été effacé, on lit: *αἵτινες φαναραὶ εἰσιν ἐκ τῶν περὶ στοιχείων διορισθέντων* A, un contresens 37 *δεκτοῦ*: *αἰσθητοῦ* B



ΙΩΑΝΝΙΝΑ 2006

φησί, διότι ἐν ταῖς αἰσθήσεσι, ταῖς αἰσθανομέναις διὰ μέσου ἐξωτερικοῦ, τὰ ὄργανά εἰσιν ὁμοειδῆ τοῖς μεταξύ. Τούτους δὲ τοὺς προσδιορισμοὺς διὰ τοῦτο προσέθηκεν, διότι τὸ αὐτὸ αἰσθητὸν αἰσθάνεται ὑπό τινος ζῴου δι' ὕδατος, καὶ ὑπό τινος δι' ἀέρος, ὡς δῆλον γέγονεν ἐπὶ τῆς ὀσμῆς.

Τῶν δ' ἁπλῶν. ,Ἐνταῦθα τίθησι τὴν δευτέραν θέσιν σὺν τῇ ταύτης φανερώσει, δηλονότι ὅτι πάντα τὰ ὄργανα τοῦ αἰσθάνεσθαι πεφύκασι συνεστάναι ἐκ δυοῖν μόνον τῶν ἁπλῶν σωμάτων, δηλονότι ἐξ ἀέρος καὶ ὕδατος, διότι ταῦτα εἰσὶ μᾶλλον παθητά, καὶ τοῦτ' ἀπαιτεῖ ἡ κατασκευὴ τοῦ ὀργάνου τῆς αἰσθήσεως, ὡς ἂν ῥᾳδίως μεταβάλληται ὑπὸ τοῦ αἰσθητοῦ. Ἐν μὲν γὰρ τῇ κόρῃ ἐστὶν ὕδωρ, διότι διὰ τοῦ ὑδαρώδους χυμοῦ, τοῦ ὄντος ἐν τῇ κόρῃ, δέχεται ὁ ὀφθαλμὸς τὸ εἶδος τοῦ ὁρατοῦ. Ὄργανον δέ ἐστιν ὁ ἀήρ, ὡς προείρηται, ἡ δὲ ὄσφρησις ἔν τισιν ἀποδίδοται τῷ ἀέρι, ἐπί τινων τῷ ὕδατι, ὡς ἀνωτέρω εἴρηται. Τὸ δὲ πῦρ καθαυτὸ οὐδεμιᾶς αἰσθήσεως ὄργανόν ἐστιν, διότι τὸ πῦρ ἐστι μάλιστα δραστικὸν καὶ ἥκιστα παθητικόν, ἀλλὰ κατὰ μετοχὴν τῆς αὐτοῦ ποιότητος κοινόν ἐστι πάσαις ταῖς αἰσθήσεσιν. Οὐδὲν γάρ ἐστιν αἰσθητικὸν ἄνευ θέρμης, ἐπεὶ οὐδὲν αἰσθάνεται μὴ ζῶν. Ἡ δὲ γῆ εἰλικρινὴς οὐδεμιᾶς αἰσθήσεως ἐστὶν ὄργανον, ἀλλὰ μίξει τινὶ μάλιστα ἀφώρισται τῇ αἰσθήσει, διότι τὸ ὄργανον τῆς ἁφῆς δεῖ εἶναι μέσης συμπλοκῆς, ὡς προείρηται, καὶ ἑπομένως δεῖ εἶναι σύνθετον ἐκ πάντων τῶν στοιχείων. Ὅθεν καταλείπεται, ὅτι οὐδὲν ὄργανον τῆς αἰσθήσεως ἐστὶ παρὰ τὸν ἀέρα καὶ τὸ ὕδωρ. Ταῦτα δὲ τὰ ὄργανα τοῦ ἀέρος καὶ τοῦ ὕδατος ἔχουσι τινὰ τῶν ζῴων, δηλονότι τὰ τέλεια ζῷα. Ὅθεν συμπεραίνει, ὅτι πᾶσαι αἱ αἰσθήσεις ἔχονται ὑπὸ τῶν ζῴων, οὐ μέντοι γε ὑπὸ τῶν ἀτελῶν κατὰ τὴν ἰδίαν φύσιν αὐτῶν, ὥσπερ εἰσὶ τὰ ἀκίνητα ζῷα, τὰ ἔχοντα μόνον τὴν ἁφήν, οὐδ' ὑπὸ τῶν πεπηρωμένων, τουτέστι τῶν ἐστερημένων τινὸς αἰσθήσεως ἔκ τινος αἰτίας παρὰ φύσιν συμβαινούσης, ὥσπερ οἱ τυφλοί, ἢ οἱ κωφοὶ ἄνθρωποι. Ὅθεν καὶ ἡ ἀσπάλαξ, ἐκ τοῦ γένους οὖσα τῶν ἀτελῶν ζῴων, δοκεῖ ὀφθαλμοὺς ἔχειν ὑπὸ τὸ δέρμα, ἵνα ἀφομοιῶται τῷ ἰδίῳ γένει, ἀλλὰ διὰ τὸ ἰλυσπᾶσθαι οὐ γέγονεν αὐτῇ ἀναγκαία ἡ ὄψις. Ἡ γὰρ γῆ προσέκρουεν ἂν τοῖς αὐτῆς ὀφθαλμοῖς, εἰ εἶχεν ὀφθαλμοὺς ἀνεῳγμένους καὶ ἀνακεκαλυμμένους. Πρόεισι δὲ οὗτος ὁ λόγος, ὡς ἐναργῶς φαίνεται, ἐκ τοῦ διωρισμένου ἀριθμοῦ τῶν στοιχείων, ἐξ οὗ ἔδειξεν ὅτι τὰ ὄργανα τῶν αἰσθήσεων, αἵ εἰσι διὰ μέσων ἐξωτερικῶν, διὰ τοῦ ἀέρος γίνονται καὶ τοῦ ὕδατος μόνον· καὶ πάλιν ἐκ τοῦ διορισμοῦ τῶν παθῶν τῶν στοιχείων, ἅπερ εἰσὶν αἱ ἁπταὶ ποιότητες· ὅθεν διὰ τούτων γίνεται γνώριμον, ὅτι πάσας τὰς ἁπτὰς ποιότητας γινώσκομεν. Καὶ διὰ τοῦτο φησὶν ὅτι οὐδεμία αἴσθησις ἐπιλείπει

5 *σύνθεσιν* B 19 *εἴρηται* B 22 *ζῷα: τῶν ζῴων* B 27-28 *ἀσπάλαγξ* B
31 *γίνεται* B

ἡμῖν, εἰ μή τις λέγειν βούλοιτο, ὅτι ἔστι τι σῶμα στοιχειῶδες παρὰ τὰ στοιχεῖα, καὶ ὅτι εἰσὶν ἄλλα πάθη δυνάμενα τῇ ἁφῇ διακρίνεσθαι, ἅπερ οὐκ εἰσὶ σώματός τινος | τῶν ἐνταῦθα ὄντων καὶ ἡμῖν ἐγνωσμένων· καὶ f. 323 τοῦτο δοκεῖ ἄτοπον. Ὅθεν καταλείπεται πέντε μόνον εἶναι αἰσθήσεις, τὰς ὑφ' ἡμῶν ἐχομένας.

Ἀ λ λ ὰ μ ή ν. Διότι ἠδύνατό τις λέγειν, ὅτι ἔστι τις αἴσθησις γνωστικὴ τῶν κοινῶν αἰσθητῶν, διὰ τοῦτο τοῦτον ἀποσκευάζεται τὸν λόγον, καὶ διαιρεῖται τοῦτο τὸ μέρος εἰς τρία· πρῶτον μὲν γὰρ ἀποκλείει τοῦτον τὸν λόγον, δηλονότι ὅτι οὐκ ἔστι τις αἴσθησις γνωστικὴ τῶν κοινῶν αἰσθητῶν· δεύτερον, δείκνυσιν ὅτι ταῦτα τὰ κοινὰ αἰσθητὰ αἰσθάνονται καθαυτά, καὶ οὐ κατὰ συμβεβηκός, ἐν τῷ· Τ α ῦ τ α γ ὰ ρ π ά ν τ α· τρίτον, φησὶν ὅτι, εἰ αἰσθάνοιντο κυρίως ὑπό τινος αἰσθήσεως, εἶεν ἂν αἰσθητὰ κατὰ συμβεβηκός, ἐν τῷ· Ο ὕ τ ω γ ὰ ρ ἔ σ τ α ι. Πρὸς τὸ δεῖξαι τὸ πρῶτον τοιούτῳ χρῆται λόγῳ. Πᾶν εἴ τι γινώσκεται ὑπὸ μιᾶς αἰσθήσεως ὡς ἴδιον αἰσθητὸν αὐτῆς, οὐ γινώσκεται ὑπὸ τῶν ἄλλων αἰσθήσεων εἰ μὴ κατὰ συμβεβηκός. Ἀλλὰ τὰ κοινὰ αἰσθητὰ οὐκ αἰσθάνονται κατὰ συμβεβηκὸς ὑπό τινος τῶν αἰσθήσεων, ἀλλὰ καθ' αὑτὰ ὑπὸ πλειόνων. Τὰ κοινὰ ἄρα αἰσθητὰ οὐκ εἰσὶν ἴδια ἀντικείμενα τινὸς αἰσθήσεως. Περὶ τοῦτον τὸν λόγον οὕτω προχωρεῖ· πρῶτον, τίθησι τὸ συμπέρασμα λέγων, ὅτι οὐ δύναταί τι εἶναι ἴδιον ὄργανον αἰσθήσεως γνωστικὸν τῶν κοινῶν αἰσθητῶν, ὧν αἰσθανόμεθα ἑκάστῃ αἰσθήσει καθαυτὰ καὶ μὴ κατὰ συμβεβηκός, ἅτινα εἰσὶν ἡ κίνησις, ἡ στάσις καὶ τὰ λοιπά· καὶ τοῦτ' ἔστιν ὅ φησιν· Ο ὕ τ ω γ ά ρ, καὶ τὰ λοιπά.

Τ α ῦ τ α γ ὰ ρ π ά ν τ α. Ἐνταῦθα, δεύτερον, ἀποδείκνυσιν ὅτι ταῦτα τὰ κοινὰ αἰσθητὰ αἰσθάνονται καθαυτά, καὶ οὐ κατὰ συμβεβηκός· τοῦτο γάρ ἐστι τὸ καθαυτὸ αἰσθάνεσθαι, τὸ πάσχειν τι ὑπὸ τοῦ αἰσθητοῦ. Ἀλλὰ πάντα ταῦτα τὰ κοινὰ αἰσθητὰ κατά τινα μεταβολὴν αἰσθάνονται· φανερὸν γάρ ἐστιν, ὅτι τὸ μέγεθος μεταβάλλει τὴν αἴσθησιν, ὅταν ᾖ ὑποκείμενον τῆς αἰσθητῆς ποιότητος, οἷον χρώματος, ἢ χυμοῦ, καὶ αἱ ποιότητες οὐ δρῶσιν ἄνευ τῶν ἰδίων ὑποκειμένων· ἐξ οὗ φαίνεται, ὅτι καὶ τὸ σχῆμα γινώσκομεν μετά τινος μεταβολῆς, διότι τὸ σχῆμα ἔστι τι τοῦ μεγέθους συνεστὼς ἐν περατώσει καὶ ὅρῳ μεγέθους· ἔστι γὰρ σχῆμα τὸ πέρατι, ἢ πέρασι περιεχόμενον, ὡς ἐν τῷ πρώτῳ λέγεται τοῦ Εὐκλείδου. Ἔτι, φανερόν ἐστιν, ὅτι ἡ ἠρεμία καταλαμβάνεται ἐκ τῆς κινήσεως, ὥσπερ καὶ τὸ σκότος διὰ τοῦ φωτός· ἔστι γὰρ ἠρεμία στέρησις κινήσεως. Ὁ γοῦν ἀριθμὸς γινώσκεται διὰ τῆς στερήσεως τοῦ συνεχοῦς, ὅπερ ἐστὶ τὸ μέγεθος· ὁ γὰρ ἀριθμὸς τῶν αἰσθητῶν πραγμάτων ἐκ τῆς διαιρέσεως τοῦ συνεχοῦς ἀποτίκτεται· ὅθεν καὶ αἱ ἰδιότητες τοῦ ἀριθμοῦ διὰ τῶν ἰδιοτήτων τοῦ συνεχοῦς γινώσκονται. Διότι γὰρ τὸ συνεχὲς διαιρετόν ἐστιν ἐπ' ἄπειρον, καὶ ὁ ἀριθμὸς ἐπ' ἄπειρον αὔξειν δύναται, ὡς δείκνυται ἐν

τῷ τρίτῳ τῶν φυσικῶν. Φανερόν ἐστιν ἔτι, ὅτι ἑκάστη αἴσθησις καθ' αὑτὴν γινώσκει τὸ ἓν ὡς καὶ ὑφ' ἑνὸς ἀντικειμένου μεταβαλλομένη· ὅθεν φανερὸν ἐστίν, ὅτι ταῦτα τὰ κοινὰ αἰσθητὰ αἰσθάνονται καθ' αὑτά, καὶ οὐ κατὰ συμβεβηκός. Ἐκ τούτου συμπεραίνει, ὅτι ἀδύνατόν ἐστιν εἶναι μίαν αἴσθησιν ἰδίαν τινὸς τούτων.

Οὕτω γὰρ ἔσται. Ἐνταῦθα, τρίτον, δείκνυσιν ὅτι, εἰ αἰσθάνοιντο ἰδίως ὑπό τινος αἰσθήσεως, εἶεν ἂν αἰσθητὰ κατὰ συμβεβηκός· καὶ τοῦτ' ἔστιν ὅ φησιν, ὅτι οὕτως ἔσται ἐπὶ τῶν κοινῶν αἰσθητῶν, εἰ εἶεν ἴδια τινὸς αἰσθήσεως, ὥσπερ νῦν ἐστιν, ὅτι τῇ ὄψει αἰσθανόμεθα τὸ γλυκύ· τοῦτο γάρ ἐστιν, ὅτι ἡμεῖς ἔχομεν αἴσθησιν ἑκατέρου, δηλονότι καὶ τοῦ λευκοῦ καὶ τοῦ γλυκέος, καὶ διὰ τοῦτο, ὅταν συμπέσωσιν εἰς ἕν, τὸ μιᾶς αἰσθήσεως γινώσκεται ὑπ' ἄλλης κατὰ συμβεβηκός. Εἰ δὲ μὴ εἴη αἰσθητὸν ὑπό τινος αἰσθήσεως, οὐδαμῶς τοῦτο ἔσται, τὸ αἰσθάνεσθαι κατὰ συμβεβηκὸς ἐκ τῆς συμπτώσεως δυοῖν αἰσθήσεων τῷ ἀριθμῷ, ἀλλὰ πάντως τὸ αἰσθητὸν κατὰ συμβεβηκός ἐστιν, ὡς προείρηται, ὥσπερ τοῦ υἱοῦ τοῦ Κλέωνος κατὰ συμβεβηκὸς αἰσθανόμεθα οὐχ ὅτι υἱὸς τοῦ Κλέωνος ἐστίν, ἀλλ' ὅτι λευκός, ᾧ συμβέβηκεν εἶναι υἱὸν τοῦ Κλέωνος· τοῦτο δέ, δηλονότι τὸ εἶναι υἱὸν τοῦ Κλέωνος, οὐχ οὕτως ἐστὶν αἰσθητὸν τῇ ὄψει κατὰ συμβεβηκός, ὅτι αἰσθήσει τινὶ αἰσθητόν ἐστι καθ' αὑτό, ὥσπερ ἦν ἐπὶ τοῦ γλυκέος. Τῶν δὲ κοινῶν αἰσθητῶν ἔχομεν αἴσθησιν κοινὴν οὐ κατὰ συμβεβηκός, τουτέστι τὰ κοινὰ αἰσθητὰ κοινῶς ὑποπίπτουσιν αἰσθήσει ὑπὸ διαφόρων αἰσθήσεων καθαυτά, καὶ οὐ κατὰ συμβεβηκός.
f. 323v Ὅθεν ἀκολουθεῖ μὴ εἶναί τινα ἰδίαν αἴσθησιν αὐτῶν, | διότι οὐκ αἰσθανόμεθα αὐτῶν καθαυτὰ ἄλλαις αἰσθήσεσιν, ἀλλ' αἰσθανόμεθα αὐτῶν κατὰ συμβεβηκός, ὥσπερ αἰσθανόμεθα τοῦ υἱοῦ τοῦ Κλέωνος. Αἱ γὰρ αἰσθήσεις αἰσθάνονται τῶν ἰδίων αἰσθητῶν κατὰ συμβεβηκός, οἷον ἡ ὄψις τοῦ αἰσθητοῦ τῆς ἀκοῆς, καὶ τὸ ἀνάπαλιν· οὐ γὰρ γινώσκει ἡ ὄψις τὸ αἰσθητὸν τῆς ἀκοῆς, οὐδὲ ἡ ἀκοὴ τὸ αἰσθητὸν τῆς ὄψεως, καθὸ τοιαῦταί εἰσίν, διότι ἡ ὄψις οὐδὲν πάσχει ὑπὸ τοῦ ἀκουστοῦ, οὐδὲ ἡ ἀκοὴ ὑπὸ τοῦ ὁρατοῦ, ἀλλὰ καθὸ γίνεται μία αἴσθησις εἴτουν αἰσθητικὴ ἀντίληψις κατ' ἐνέργειαν. Οὕτω γὰρ ἐν τῷ αὐτῷ αἰσθητῷ γίνεται ἡ ἐνέργεια ἑκατέρας αἰσθήσεως τῇ πρὸς τὸ αὐτὸ αἰσθητὸν ἀποβλέψει, ὥσπερ περὶ τῆς χολῆς ἅμα καταλαμβάνεται ὑπὸ τῆς γεύσεως, ὅτι πικρά, καὶ ὑπὸ τῆς ὄψεως, ὅτι ξανθή, καὶ διὰ τοῦτο αὐτίκα πρὸς τὴν θεωρίαν τοῦ ξανθοῦ κρίνομέν τι εἶναι πικρόν· οὐ γάρ ἐστι τις ἑτέρα αἴσθησις, ἧς ἴδιόν ἐστι τὸ γινώσκειν, ὅτι τὸ λευκὸν καὶ πικρὸν εἰσὶν ἕν. Αὕτη γὰρ ἡ ἑνότης οὐκ ἔστιν εἰ μὴ μία κατὰ συμβεβηκός, καὶ τὸ κατὰ συμβεβηκὸς ὂν οὐ δυνατὸν εἶναι ἀντικείμενον τινὸς δυνάμεως. Καὶ διότι ἡ γεῦσις οὐ καταλαμβάνει

---

35 τι: τὸ B

Ε.Υ.Δ τ.Φ.Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸ τῆς ἁφῆς, συνεχῶς ἐν τοῖς τοιούτοις ἀπατᾶται ἡ αἴσθησις, καὶ κρίνομεν ὅτι, εἴ τι ἔστι ξανθόν, χολή ἐστι.

Ζητήσειε δ' ἄν τις. Ἐνταῦθα ζητεῖ τὴν αἰτίαν τοῦ πλήθους τῶν αἰσθήσεων. Τοῦτο δέ ἔστι τι ἑπόμενον ὅλῳ τῷ εἴδει, καὶ ἐν τοῖς τοιούτοις ἀποδιδόναι δεῖ αἰτίαν τελικήν, ὡς Ἀριστοτέλης διδάσκει ἐν τῷ ἐσχάτῳ τοῦ περὶ ζῴων γενέσεως. Ἄλλως δέ ἐστιν ἐν τοῖς συμβεβηκόσι τοῦ ἀτόμου, ὧν ἀποδιδόναι δεῖ τὸν λόγον ἐκ τοῦ μέρους τῆς ὕλης, ἢ τοῦ ποιοῦντος· ὅθεν καὶ ἐνταῦθα ἀποδίδωσιν αἰτίαν τελικήν. Φησὶ τοίνυν ὅτι δυνατόν τινα ζητεῖν τίνος χάριν ἔχομεν πλείους αἰσθήσεις, καὶ οὐ μίαν μόνον· καὶ ἔστιν ἀπόκρισις πρὸς τοῦτο, ἵνα μὴ λανθάνωσιν ἡμᾶς τά τε ἑπόμενα τοῖς ἰδίοις αἰσθητοῖς καὶ τὰ κοινὰ διαφόροις αἰσθήσεσιν, ὥσπερ κίνησις καὶ μέγεθος καὶ ἀριθμός. Εἰ γὰρ ἦν αἴσθησις μόνη ἡ ὄψις, ἐπεὶ χρώματος μόνον ἐστὶν αὕτη, καὶ τὸ χρῶμα καὶ τὸ μέγεθος ἀκολουθοῦσιν ἀλλήλοις, διότι ἅμα μετὰ τοῦ χρώματος μεταβάλλεται ἡ αἴσθησις ὑπὸ τοῦ μεγέθους, οὐκ ἂν ἠδυνήθημεν διακρίνειν μεταξὺ χρώματος καὶ μεγέθους, ἀλλ' ἐδόκει ἂν εἶναι ταὐτόν. Ἀλλὰ νῦν, διότι τὸ μέγεθος αἰσθάνεται ἄλλῃ αἰσθήσει ἢ τῇ ὄψει, τὸ δὲ χρῶμα οὔ, τοῦτο αὐτὸ φανεροῖ, ὅτι ἄλλο ἐστὶ χρῶμα καὶ μέγεθος· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων τῶν κοινῶν, δύναται καὶ οὗτος ὁ λόγος ἀποδίδοσθαι τῆς διακρίσεως τῶν αἰσθήσεων. Φανερὸν γάρ ἐστιν ὅτι, ἐπεὶ ἡ δύναμις πρὸς ἀντικείμενον λέγεται, δεῖ κατὰ τὴν διαφορὰν τῶν ἀντικειμένων ποικίλλεσθαι καὶ τὰς αἰσθητικὰς δυνάμεις· τὸ δὲ ἀντικείμενόν ἐστιν αἰσθητόν, καθὸ μεταβλητικόν ἐστι τῆς αἰσθήσεως. Ὅθεν διάφορα εἰσὶ γένη τῶν μεταβολῶν τῆς αἰσθήσεως ὑπὸ τοῦ αἰσθητοῦ· ἕνα μὲν τρόπον δι' ἐπαφῆς, καὶ οὕτως ἐστὶν ἡ τῆς ἁφῆς αἴσθησις, ἥτις διακριτική ἐστι τῶν συνιστώντων τὸ ζῷον, καὶ ἡ τῆς γεύσεως αἴσθησις, ἣ ἐστι καταληπτικὴ τῶν ποιοτήτων, αἵτινες ἀφορίζονται τὴν οἰκειότητα τῆς τροφῆς, δι' ἧς συντηρεῖται τὸ τοῦ ζῴου σῶμα. Ἄλλον δὲ τρόπον μεταβάλλεται ἡ αἴσθησις διὰ μέσου ἐξωτερικοῦ, καὶ αὕτη γε ἡ μεταβολὴ ἢ μετὰ τῆς ἀλλοιώσεως ἐστὶ τοῦ αἰσθητοῦ, καὶ οὕτως ἡ ὀσμὴ μεταβάλλει τὴν αἴσθησιν μετά τινος ἀναλύσεως τοῦ ὀσφραντοῦ· ἢ μετὰ τῆς τοπικῆς κινήσεως, καὶ οὕτω μεταβάλλει ὁ ψόφος· ἢ χωρὶς τῆς τοῦ αἰσθητοῦ μεταβολῆς, ἀλλὰ κατὰ μόνην τὴν πνευματικὴν μεταβολὴν τοῦ μέσου καὶ τοῦ ὀργάνου, καὶ οὕτως ἔχει τὸ χρῶμα.

## Leçon II.

Ἐπεὶ δὲ αἰσθανόμεθα ὅτι. Δείξας ὁ Φιλόσοφος ὅτι οὐκ ἔστιν ἄλλη ἰδία αἴσθησις παρὰ τὰς πέντε, προχωρεῖ πρὸς τὸ ζητῆσαι πότερον ἔστι τις δύναμις αἰσθητικὴ κοινὴ ταύταις ταῖς πέντε αἰσθήσεσιν, ἢ μή,

---

**17** *αὐτὸ*: *αὖ* B **24** *διὰ τῆς ἐπαφῆς* B

Ε.Υ.Δ της Κ.Π.Π. ΙΩΑΝΝΙΝΑ 2006

καὶ τοῦτο ἀνιχνεύει ἔκ τινων ἐνεργειῶν, αἵτινες οὐ δοκοῦσιν αἰσθήσεως τινὸς ἰδίως εἶναι, ἀλλὰ φαίνονται ζητεῖν δύναμίν τινα αἰσθητικὴν κοινήν. Αἱ τοιαῦται δὲ ἐνέργειαι δύο εἰσίν· μία ἐστὶ καθὸ καταλαμβάνομεν τὰς ἐνεργείας τῶν ἰδίων αἰσθήσεων, οἷον ὅτι αἰσθανόμεθα ἡμᾶς ὁρᾶν καὶ ἀκούειν· ἄλλη ἐστὶν ὅτι διακρίνομεν μεταξὺ αἰσθητῶν δύο αἰσθήσεων, f. 324 οἷον ὅτι ἄλλο τὸ γλυκύ, καὶ | ἄλλο τὸ λευκόν· καὶ διαιρεῖται τοῦτο τὸ μέρος εἰς δύο· πρῶτον, ζητεῖ τίνι δεῖ ἀποδίδοσθαι τὴν πρώτην τούτων τῶν ἐνεργειῶν· δεύτερον, τίνι ἀποδίδοσθαι δεῖ τὴν δευτέραν, ἐν τῷ· .... Πρὸς δὲ τὸ πρῶτον τρία ποιεῖ· πρῶτον, κινεῖ τὴν ἀπορίαν· δεύτερον, ἀντιτίθησι πρὸς ἑκάτερον μέρος, ἐν τῷ· .... τρίτον, ἀντιτίθησι πρὸς τὸ ἐναντίον μέρος, ἐν τῷ· Ἔχει δὲ ἀπορίαν. Ἀντιτιθεὶς δὲ πρὸς ἑκάτερον μέρος, πρῶτον, ἐπάγει, πρὸς τὸ δεῖξαι ὅτι ἡ ὄψις δοκεῖ ἑαυτὴν ὁρᾶν, δύο λόγους, ὧν ὁ πρῶτος τοιοῦτος ἐστίν. Εἰ ὁ ἄνθρωπος αἰσθάνεται ἑαυτὸν ὁρᾶν αἰσθήσει τινὶ παρὰ τὴν ὄψιν, ἢ ἔσται τοῦτο, διότι ὁ ἄνθρωπος ἐκείνῃ τῇ ἄλλῃ αἰσθήσει ὁρᾷ τὸ χρῶμα, ἢ ὅτι ἐκείνῃ τῇ αἰσθήσει ὁρᾷ τὸ χρῶμα καὶ αἰσθάνεται τὴν ὄψιν τοῦ χρώματος. Δεῖ δὲ τὴν αὐτὴν καὶ μίαν αἴσθησιν εἶναι τῆς τε ἐνεργείας, δηλονότι τῆς ὄψεως, καὶ τοῦ ὑποκειμένου χρώματος. Ὅθεν ἕψεται θάτερον τῶν δύο τούτων. Εἰ γὰρ αὕτη ἡ αἴσθησις, ἡ αἰσθανομένη τῆς ὄψεως καὶ τοῦ χρώματος, ἔστιν ἄλλη αἴσθησις παρὰ τὴν ὄψιν, δεήσει δύο εἶναι αἰσθήσεις ἑνὸς ὑποκειμένου, δηλονότι τοῦ χρώματος. Εἰ δὲ αὕτη ἡ αἴσθησις, ᾗ αἰσθανόμεθα τὴν ὄψιν καὶ τὸ χρῶμα, ἔστιν ἡ αὐτὴ αἴσθησις τῇ ὄψει, ἕψεται τὸ αὐτὸ τοῦ αὐτοῦ, οἷον τὴν ὄψιν ἑαυτῆς αἴσθησιν εἶναι, ὅπερ ἄνωθεν ἀπεφάσκετο. Τὸ δὲ λέγειν ὅτι ἐκείνη ἡ ἄλλη αἴσθησις, ᾗ τις αἰσθάνεται ἑαυτὸν ὁρᾶν, οὐκ αἰσθάνεται τὸ χρῶμα, παντάπασιν ἐστὶν ἄλογον, διότι μὴ γινώσκουσαν τὸ χρῶμα ἀδύνατον εἰδέναι τί ἐστι τὸ ὁρᾶν, ἐπεὶ τὸ ὁρᾶν οὐδὲν ἄλλο ἐστὶν ἢ αἰσθάνεσθαι τοῦ χρώματος.

Ἔτι δ' εἰ καὶ ἕτερα. Ἐνταῦθα τίθησι τὸν δεύτερον λόγον τοιοῦτον ὄντα. Εἰ ἡ αἴσθησις τῆς ὄψεως, ᾗ δηλονότι αἰσθανόμεθα ἡμᾶς ὁρᾶν, ἐστὶν ἄλλη παρὰ τὴν ὄψιν, πάλιν ζητητέον ἐστὶ περὶ ἐκείνης τῆς αἰσθήσεως, πότερον δηλονότι ἐκείνη ἡ αἴσθησις αἰσθάνεται ἑαυτὴν αἰσθάνεσθαι, καὶ εἰ μή, δεήσει πάλιν ζητεῖν αἴσθησιν, ἥτις αἰσθάνεται ἐκείνης τῆς αἰσθήσεως. Ἢ τοίνυν εἰς ἄπειρον ἐλεύσεται, ὅπερ ἐστὶν ἀδύνατον, διότι ἀδύνατον ἐστὶ τελειοῦσθαι ἐνέργειαν, ἥτις ἤρτηται ἐξ ἀπείρων ποιούντων, οὐδὲ ἔτι ἑνὸς πράγματος δύνανται εἶναι ἄπειροι δυνάμεις· ἢ δεήσει εὑρίσκεσθαί τινα αἴσθησιν, ἥτις γένοιτ' ἂν κριτήριον ἑαυτῆς, τουτέστιν ἥτις καταλάβοι ἂν ἑαυτὴν αἰσθάνεσθαι. Τῷ αὐτῷ τοίνυν λόγῳ ἠδύνατο γίνεσθαι καὶ ἐπὶ τῆς πρώτης αἰσθήσεως, ὥστε δηλονότι τὴν ὄψιν

---

2 *φαίνεται* B  8 blanc après *ἐν τῷ* AB  10 blanc après *ἐν τῷ* AB

Ε.Ν.Ε. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

αἰσθάνεσθαι ἑαυτὴν ὁρᾶν. Οὐκ ἄρα ἐστὶν ἄλλη αἴσθησις, ἥτις καταλαμβάνει τὸ χρῶμα, καὶ ἥτις καταλαμβάνει τὴν ὄψιν τοῦ χρώματος.

Ἔχει δὲ ἀπορίαν. Ἐνταῦθα ἀντιτίθησι πρὸς τὸ ἐναντίον μέρος. Καὶ διότι οἱ πρῶτοι λόγοι ἀμηγέπη συμπεραίνουσιν ἀληθές, οὗτος ὁ λόγος τρόπῳ ἀπορίας προτίθεται· ὅθεν καὶ τοῦτον λύει. Ἔστι δὲ ὁ λόγος τοιοῦτος. Εἰ τῇ ὄψει αἰσθανόμεθα ἡμᾶς ὁρᾶν, τὸ δὲ αἰσθάνεσθαι τῇ ὄψει οὐδὲν ἄλλο ἐστὶν ἢ ὁρᾶν, ὁρῶμεν ἄρα ἡμᾶς ὁρᾶν. Ἀλλὰ οὐδὲν ὁρᾶται εἰ μὴ τὸ χρῶμα, ἢ τὸ ἔχον χρῶμα. Εἰ τοίνυν τις ὄψεται τὸ ὁρῶν, ἔψεται τὸ πρῶτον ὁρῶν, ὅπερ δεύτερον ἐστὶν ὁρατόν, χρῶμα ἔχειν· τοῦτο δὲ ἄτοπον δοκεῖ. Ἀνωτέρω γὰρ εἴρηται, ὅτι ἡ ὄψις, δεκτικὴ οὖσα χρώματος, ἔστιν ἄνευ χρώματος.

Φανερὸν τοίνυν ὅτι. Ἐνταῦθα λύει τὴν προτεθεῖσαν ἀπορίαν δυσὶ τρόποις· πρῶτον, συμπεραίνων ἐκ τῶν προειρημένων, ὅτι τὸ τῇ ὄψει αἰσθάνεσθαι πολλαχῶς λέγεται· δέδεικται γὰρ ἀνωτέρω, ὅτι τῇ ὄψει αἰσθανόμεθα ἡμᾶς ὁρᾶν· πάλιν δέδεικται, ὅτι τῇ ὄψει οὐκ αἰσθανόμεθα εἰ μὴ τὸ χρῶμα. Τὸ αἰσθάνεσθαι τοίνυν τῇ ὄψει διχῶς λέγεται· ἕνα μὲν τρόπον, καθὸ τῇ ὄψει αἰσθανόμεθα ἡμᾶς ὁρᾶν· ἄλλον δὲ τρόπον, ὅταν ὁρῶμεν τὸ χρῶμα. Καὶ ὅτι τὸ τῇ ὄψει αἰσθάνεσθαι πολλαχῶς λέγεται, ἐντεῦθεν δῆλον ἐστίν, ὅτι ποτὲ μὲν λεγόμεθα αἰσθάνεσθαι τῇ ὄψει, ὅταν ἡ ὄψις κατὰ παρουσίαν ἀλλοιῶται ὑπὸ τοῦ ὁρατοῦ, δηλονότι τοῦ χρώματος· ἐνίοτε δὲ διακρίνομεν τὸ σκότος καὶ τὸ φῶς, καὶ μὴ ὁρῶντες αὐτὰ κατά τινα ἀλλοίωσιν ὑπὸ τοῦ ἔξω αἰσθητοῦ. Ἀλλ' οὐχ ὡσαύτως λέγεται ἑκατέρῳ τῷ τρόπῳ τὸ αἰσθάνεσθαι. Ἐπάνεισι τοίνυν ἡ λύσις πρὸς τοῦτο, ὅτι ἡ ἐνέργεια τῆς ὄψεως δύναται θεωρεῖσθαι ἢ καθὸ συνίσταται ἐν τῇ ἀλλοιώσει τοῦ ὀργάνου ὑπὸ τοῦ ἔξωθεν αἰσθητοῦ, καὶ οὕτως οὐκ αἰσθάνεται εἰ μὴ
τὸ χρῶμα· | ὅθεν ταύτῃ τῇ ἐνεργείᾳ ἡ ὄψις οὐκ ἂν ἴδοι ἑαυτὴν ὁρᾶν. f. 324v
Ἄλλη ἐστὶν ἐνέργεια τῆς ὄψεως, καθὸ ἄνευ τῆς τοῦ ὀργάνου ἀλλοιώσεως κρίνει περὶ αὐτῆς τῆς καταλήψεως τοῦ ὀργάνου, καὶ ἀπόντος τοῦ αἰσθητοῦ· καὶ οὕτως ἡ ὄψις οὐ μόνον τὸ χρῶμα αἰσθάνεται, ἀλλ' αἰσθάνεται ἔτι καὶ τὴν ὄψιν τοῦ χρώματος.

Ἔτι δὲ καὶ τὸ ὁρῶν. Ἐνταῦθα τίθησιν ἄλλην λύσιν, ἥτις ἀναγκαία ἐστί, καθὸ τὸ χρῶμα ἔχει διπλοῦν εἶναι· ἓν φυσικὸν ἐν τῷ αἰσθητῷ πράγματι, καὶ ἄλλο πνευματικὸν ἐν τῇ αἰσθήσει. Κατὰ τὸ πρῶτον τοίνυν εἶναι τοῦ χρώματος πρόεισιν ἡ πρώτη λύσις. Αὕτη δὲ ἡ δευτέρα λύσις πρόεισιν ὅσον πρὸς τὸ δεύτερον εἶναι τοῦ χρώματος. Περὶ δὲ τὴν λύσιν τρία ποιεῖ· πρῶτον, τίθησι τὴν λύσιν· δεύτερον, ἀποδείκνυσί τι, ὅπερ ἐν τῇ λύσει ὑποτέθεικεν, ἐν τῷ· Εἰ δὴ ἔστιν ἡ κίνησις· τρίτον, ἐκ ταύτης τῆς λύσεως δείκνυσιν ἄλλων τινῶν ζητημάτων λύσιν, ἐν τῷ· Ἐπεὶ δὲ μία μέν ἐστι. Φησὶ τοίνυν, πρῶτον, ὅτι λελυμένης τῆς προειρημένης ἀπορίας ἐκ τοῦ τὸ ὁρῶν μὴ δύνασθαι εἶναι κεχρωσμένον, ἔτι δυνατὸν

αὐτὴν λύεσθαι, λεγόντων ἡμῶν ὅτι τὸ ὁρῶν ἔστιν ὡς κεχρωμάτισται, διότι ἐν τῷ ὁρᾶν ἔστιν ὁμοιότης τοῦ χρώματος. Ὅθεν τὸ ὁρῶν ἐστιν ὅμοιον τῷ κεχρωσμένῳ· ὅθεν ἡ δύναμις ἡ ὁρῶσα εἶναι τινὰ ὁρῶντα οὐκ ἔστιν ἔξω τοῦ γένους τῆς ὁρατικῆς δυνάμεως. Καὶ ὅτι τὸ ὁρῶν ἐστι τρόπῳ τινὶ κεχρωσμένον, δείκνυσι διὰ τῶν εἰρημένων, διότι ἕκαστον ὄργανον αἰσθήσεως ἐστὶ δεκτικὸν τοῦ εἴδους τοῦ αἰσθητοῦ χωρὶς τῆς ὕλης, ὡς ἀνωτέρω δέδεικται. Καὶ οὗτος ἐστὶν ὁ λόγος, δι' ὃν ἀπερχομένων τῶν αἰσθητηρίων γίνονται ἐν ἡμῖν αἰσθήσεις καὶ φαντασίαι, καθ' ἃς τρόπον τινὰ αἰσθάνονται τὰ ζῷα καὶ οὕτω φαίνεται, ὅτι τὸ ὁρῶν ἐστὶν ὡς κεχρωσμένον, καθόσον ἔχει τὴν ὁμοιότητα τοῦ χρώματος. Καὶ οὐ μόνον τὸ ὁρῶν ἐστὶν ὥσπερ κεχρωσμένον καὶ ὅμοιον τῷ κεχρωσμένῳ, ἀλλ' ἔτι καὶ ἡ ἐνέργεια ἑκάστης αἰσθήσεως ἐστὶ μία καὶ ἡ αὐτὴ μετὰ τῆς ἐνεργείας τοῦ αἰσθητοῦ, ἀλλὰ τῷ λόγῳ οὐκ ἔστι μία. Καὶ λέγω ἐνέργειαν τῆς αἰσθήσεως, οἷον τὴν κατ' ἐνέργειαν ἀκοήν, καὶ ἐνέργειαν τοῦ αἰσθητοῦ, οἷον τὸν κατ' ἐνέργειαν ψόφον. Οὐ γάρ ἐστιν ἀεὶ ἐνεργείᾳ· ἐνδέχεται γὰρ τὰ ἔχοντα τὴν ἀκοὴν μὴ ἀκούειν, καὶ τὰ ἔχοντα τὸν ψόφον μὴ ψοφεῖν ἀεί, ἀλλ' ὅταν τό τε δυνάμενον ἀκούειν ἔχῃ τὴν ἐνέργειαν ἑαυτοῦ καὶ τὸ δυνάμενον ψοφεῖν ψοφῇ, τότε ἅμα γίνεται καὶ ὁ ψόφος ὁ κατ' ἐνέργειαν, ὃς καλεῖται ψόφησις, καὶ ἡ κατ' ἐνέργειαν ἀκοή, ἣ καλεῖται ἄκουσις. Ἐπεὶ τοίνυν ἡ ὄψις καταλαμβάνει τὸ αἰσθητὸν καὶ τὴν ἐνέργειαν αὐτοῦ, καὶ τὸ ὁρῶν ἐστιν ὅμοιον τῷ αἰσθητῷ, καὶ ἡ ἐνέργεια τοῦ ὁρῶντος ἐστὶν ἡ αὐτὴ τῇ ἐνεργείᾳ τοῦ αἰσθητοῦ τῷ ὑποκειμένῳ, εἰ καὶ μὴ τῷ λόγῳ, καταλείπεται τῆς αὐτῆς δυνάμεως εἶναι τό τε ὁρᾶν τὸ χρῶμα καὶ τὴν ἀλλοίωσιν τὴν ὑπὸ τοῦ χρώματος γινομένην, καὶ τὴν κατ' ἐνέργειαν ὄψιν καὶ τὴν θεωρίαν αὐτῆς. Ἡ δύναμις ἄρα ἐκείνη, ᾗ ὁρῶμεν ἡμᾶς ὁρᾶν, οὐκ ἔστιν ἐξωτερικὴ τῆς ὁρατικῆς δυνάμεως, ἀλλὰ διαφέρει ταύτης τῷ λόγῳ.

Εἰ δὴ ἔστιν ἡ κίνησις. Ἐνταῦθα ἀποδείκνυσιν ὅπερ ὑπέθηκεν, δηλονότι ὅτι μία καὶ ἡ αὐτή ἐστιν ἐνέργεια τοῦ αἰσθητοῦ καὶ τοῦ αἰσθανομένου, ἀλλὰ τῷ λόγῳ διαφέρουσιν ἐκ τῶν ἀποδεδειγμένων ἐν τῷ τρίτῳ τῶν φυσικῶν. Ἐκεῖ γὰρ δέδεικται, ὅτι οὕτως ἡ κίνησις, ὥσπερ ἡ ἐνέργεια καὶ τὸ πάθος, εἰσὶν ἐν τῷ ποιουμένῳ, τουτέστιν ἐν τῷ πάσχοντι καὶ τῷ κινητῷ. Φανερὸν δέ ἐστιν, ὅτι ἡ ἀκοὴ πάσχει ὑπὸ τοῦ ψόφου· ὅθεν ἀνάγκη ἐστὶ τόν τε κατ' ἐνέργειαν ψόφον, ὃς λέγεται ψόφησις, καὶ τὴν κατ' ἐνέργειαν ἀκοήν, ἣ λέγεται ἄκουσις, εἶναι ἐν τῷ κατὰ δύναμιν τῷ αὐτῷ, δηλονότι ἐν τῷ ὀργάνῳ τῆς ἀκοῆς, διότι ἡ ἐνέργεια τοῦ ποιητικοῦ καὶ κινητικοῦ ἐν τῷ πάσχοντι γίνεται, καὶ οὐκ ἐν τῷ ποιοῦντι καὶ κινοῦντι. Καὶ αὕτη ἐστὶν ἡ αἰτία, δι' ἣν οὐκ ἀνάγκη πᾶν τὸ κινοῦν κινεῖσθαι. Ὅθεν εἰ ἡ κίνησις καὶ ἡ ἐνέργεια, κίνησίς τις οὖσα, ἣν ἐν τῷ κινοῦντι,

36 *καὶ* après *ποιοῦντι*: *ἢ* B

εἵπετο ἂν τὸ κινοῦν κινεῖσθαι. Καὶ οὕτως εἴρηται ἐν τῷ τρίτῳ τῶν φυσικῶν, ὅτι ἡ ἐνέργεια καὶ τὸ πάθος εἰσὶ μία ἐνέργεια τῆς οὐσίας, ἀλλὰ διαφέρουσι τῷ λόγῳ, καθὸ ἡ ἐνέργεια σημαίνεται ὡς ἀπὸ τοῦ ποιοῦντος· τὸ δὲ πάθος ὡς ἐν τῷ πάσχοντι, οὕτω προεῖπε, καὶ ὅτι ἡ αὐτή ἐστιν ἐνέργεια τοῦ αἰσθητοῦ καὶ τοῦ αἰσθανομένου τῷ ὑποκειμένῳ, ἀλλ' οὐ τῷ λόγῳ. Ἡ ἐνέργεια τοίνυν τοῦ ψοφητικοῦ ἢ τοῦ ψόφου ἐστὶν ἡ ψόφησις· ἡ δὲ ἐνέργεια τοῦ ἀκουστικοῦ ἐστιν ἡ ἄκουσις· λέγεται γὰρ διχῶς ἡ ἀκοὴ καὶ ὁ ψόφος· κατ' ἐνέργειαν, καὶ κατὰ δύναμιν· καὶ ὅπερ εἴρηται περὶ τῆς ἀκοῆς καὶ τοῦ ψόφου, τῷ αὐτῷ λόγῳ ἔχει καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων καὶ αἰσθητῶν. | Ὥσπερ γὰρ ἡ ἐνέργεια καὶ τὸ πάθος ἐστὶν f. 325 ἐν τῷ πάσχοντι, καὶ οὐκ ἐν τῷ ποιοῦντι ὡς ἐν ὑποκειμένῳ, ἀλλὰ μόνον ὡς ἐν ἀρχῇ καὶ τῷ ἀφ' οὗ, οὕτως ἥ τε τοῦ αἰσθητοῦ ἐνέργεια καὶ ἡ τοῦ αἰσθητικοῦ ἐστιν ἐν τῷ αἰσθητικῷ ὡς ἐν ὑποκειμένῳ. Ἀλλ' ἔν τισιν αἰσθητικοῖς καὶ αἰσθητοῖς ὠνόμασται ἑκατέρα ἡ ἐνέργεια, οἷον ἡ ψόφησις τοῦ αἰσθητοῦ, καὶ ἡ τοῦ αἰσθητικοῦ, οἷον ἡ ἄκουσις. Ἐπί τινων δὲ θάτερον μόνον ὠνόμασται, δηλονότι ἡ ἐνέργεια τοῦ αἰσθητικοῦ· ὅρασις γὰρ λέγεται ἡ ἐνέργεια τῆς ὄψεως, ἀλλ' ἡ ἐνέργεια τοῦ χρώματος οὐκ ὠνόμασται. Ὁμοίως καὶ γεῦσις μέν ἐστιν ἡ ἐνέργεια τοῦ γευστικοῦ, ἀλλ' ἡ ἐνέργεια τοῦ χυμοῦ οὐκ ὠνόμασται παρὰ τοῖς Ἕλλησιν.

*Ἐπεὶ δὲ μία μέν ἐστιν.* Ἐνταῦθα ἐκ τῆς προεκτεθειμένης λύσεως πρόεισι πρὸς τὸ δεῖξαι τὴν ἀλήθειαν τῶν δύο ζητημάτων, ὧν τὸ πρῶτον ἐστίν, πότερον ἡ αἴσθησις καὶ τὰ αἰσθητὰ ἅμα φθείρονταί τε καὶ σῴζονται. Πρὸς τὴν λύσιν τοίνυν τούτου φησὶν ὅτι ἡ ἐνέργεια τοῦ αἰσθητοῦ καὶ τοῦ αἰσθητικοῦ ἐστι μία τῷ ὑποκειμένῳ, ἀλλὰ διαφέρουσι τῷ λόγῳ, ὡς εἴρηται. Ἀνάγκη τοίνυν ἐστὶ τὴν εἰρημένην κατ' ἐνέργειαν ἀκοὴν καὶ τὸν εἰρημένον κατ' ἐνέργειαν ψόφον ἅμα σῴζεσθαι καὶ φθείρεσθαι. Ὡσαύτως δὲ ἔχει καὶ περὶ τοῦ χυμοῦ καὶ τῆς γεύσεως καὶ τῶν ἄλλων αἰσθήσεων καὶ αἰσθητῶν. Ἀλλ' ἐὰν λέγηται κατὰ τὴν δύναμιν, οὐκ ἀνάγκη ἐστὶν ἅμα σῴζεσθαι ἢ φθείρεσθαι. Ἐκ δὲ ταύτης τῆς λύσεως ἀποκλείει τὴν δόξαν τῶν ἀρχαίων φυσικῶν, ἐν τῷ· *Ἀλλ' οἱ πρότερον*, λέγων ὅτι οἱ πρότεροι φυσιολόγοι οὐ καλῶς ἔλεγον δοξάζοντες μηδὲν εἶναι λευκόν, ἢ μέλαν εἰ μὴ ὅταν ὁρᾶται, οὐδὲ χυμὸν εἶναι εἰ μὴ ὅταν γεύηται, ὡσαύτως καὶ περὶ τῶν ἄλλων αἰσθήσεων καὶ αἰσθητῶν. Καὶ διότι οὐκ ἐπίστευον εἶναι ἄλλα ὄντα εἰ μὴ τὰ αἰσθητά, οὐδὲ ἄλλην δύναμιν γνωστικὴν εἰ μὴ τὴν αἴσθησιν, ἐπίστευον ὅλον τὸ εἶναι καὶ τὴν ἀλήθειαν τῶν πραγμάτων εἶναι ἐν τῷ φαίνεσθαι, καὶ ἐντεῦθεν ἥγοντο πρὸς τὸ πιστεύειν τὰ ἀντιφατικὰ ἅμα εἶναι ἀληθῆ διὰ τὸ διαφόρους τὰ ἀντιφατικὰ δοξάζειν. Ἔλεγον δὲ τρόπον μέν τινα ὀρθῶς, τρόπον δέ τινα μὴ ὀρθῶς. Ἐπεὶ γὰρ

---

**15** *ἄκουσις* **corrigé de** *ἀκρόασις* **B 21** *τὸ* **(2°) om B**

Ε.Υ.Δ της ΚτΠ ΙΩΑΝΝΙΝΑ 2006

διχῶς λέγεται ἡ αἴσθησις καὶ τὸ αἰσθητόν, δηλονότι κατά τε δύναμιν καὶ κατ' ἐνέργειαν, περὶ μὲν τοῦ κατ' ἐνέργειαν αἰσθητοῦ καὶ τῆς αἰσθήσεως συμβαίνει τὸ λεγόμενον ὑπ' ἐκείνων, δηλονότι τὸ μὴ εἶναι τὸ αἰσθητὸν χωρὶς τῆς αἰσθήσεως· οὐκ ἔστι δὲ τὸ αὐτὸ τοῦτο ἀληθὲς καὶ περὶ τοῦ κατὰ δύναμιν αἰσθητοῦ καὶ τῆς αἰσθήσεως. Ἀλλ' αὐτοὶ ἁπλῶς διελέγοντο, τουτέστιν ἄνευ διαστολῆς, περὶ τῶν πολλαχῶς λεγομένων.

Εἰ δ' ἡ συμφωνία φωνή τις. Ἐνταῦθα τίθησιν ἐκ τῶν προειρημένων λύσιν ἄλλου ζητήματος, διατί δηλονότι τινὰ μὲν τῶν αἰσθητῶν φθείρουσι τὴν αἴσθησιν, τινὰ δὲ ἡδύνουσιν. Καὶ φησὶν ὅτι εἰ ἡ συμφωνία ἐστὶ φωνή τις, καί τις φωνή ἐστι τὸ αὐτὸ τῇ ἀκοῇ, καὶ ἡ συμφωνία ἐστι τις ἀναλογία, ἀνάγκη ἄρα τὴν ἀκοὴν εἶναι τινὰ ἀναλογίαν. Καὶ διότι ἑκάστη ἀναλογία φθείρεται τῇ ὑπερβολῇ, διὰ τοῦτο τὸ ὑπερβάλλον αἰσθητὸν φθείρει τὴν αἴσθησιν, ὥσπερ ἡ ὑπερβάλλουσα φωνὴ κατὰ τὸ βαρὺ ἢ τὸ ὀξὺ φθείρει τὴν αἴσθησιν τῆς ἀκοῆς, καὶ ὁ ὑπερβάλλων χυμὸς φθείρει τὴν γεῦσιν, καὶ τὸ σφόδρα λαμπρὸν ἢ ζοφερὸν φθείρει τὴν ὄψιν, καὶ ἡ ἰσχυρὰ ὀσμὴ φθείρει τὴν ὄσφρησιν, ὡς τῆς αἰσθήσεως οὔσης ἀναλογίας τινός. Ἀλλ' ἐὰν εἰλικρινῆ τὰ αἰσθητὰ ἄγωνται εἰς τὴν ἀνάλογον μίξιν, ἡδέα ἀποτελοῦνται, ὥσπερ ἐν τοῖς χυμοῖς, ὁπόταν τι κατὰ τὴν ὀφειλομένην ἀναλογίαν ἢ ὀξῶδες, ἢ γλυκύ, ἢ ἁλμυρὸν εἰσὶ παντάπασιν ἡδέα, καὶ ὅλως τὸ μικτὸν μᾶλλον ἐστὶν ἡδὺ ἢ τὸ ἁπλοῦν, ὥσπερ ἡ συμφωνία ἡδίων τῆς ὀξείας μόνον, ἢ βαρείας μόνον φωνῆς, καὶ ἐπὶ τῆς ἁφῆς δὲ τὸ συγκείμενον ἐκ τοῦ θερμαντοῦ καὶ ψυχραντοῦ. Ἡ γὰρ αἴσθησις τοῖς ἀναλόγως ἔχουσιν ἐφήδεται ὡς ὁμοίοις ἑαυτῇ διὰ τὸ τὴν αἴσθησιν εἶναι ἀναλογίαν τινά· τὰ δὲ ὑπερβάλλοντα φθείρειν τὴν αἴσθησιν ἢ τὸ ἐλάχιστον λυπεῖν αὐτήν.

## Leçon III.

Ἑκάστη μὲν οὖν αἴσθησις. Προῆλθεν ὁ Φιλόσοφος ἀνωτέρω πρὸς τὸ ζητῆσαι τὴν κοινὴν αἴσθησιν ἐκ ταύτης τῆς ἐνεργείας, ᾗτινι αἰσθανόμεθα ἡμᾶς ὁρᾶν καὶ ἀκούειν. Ἐκ δὲ ταύτης τῆς ἐνεργείας ἠνέχθη πρὸς τοῦτο, ὅτι ἡ δυνάμει ὄψις αἰσθάνεται τῆς ὁράσεως, ἄλλῳ μέντοι γε τρόπῳ παρὸ αἰσθάνεται τοῦ ἔξω αἰσθητοῦ. Ἀλλ' οὔπω σαφὲς γέγονεν, ὅτι ἡ δύναμις ἡ κριτικὴ περὶ τῶν ἐνεργειῶν τῶν αἰσθήσεων ἐστὶ μία καὶ κοινή, καὶ διὰ τοῦτο περαιτέρω προβαίνων ζητεῖ καὶ ἀνιχνεύει τὴν δύναμιν δι' ἄλλης ἐνεργείας, ἥτις δείκνυσιν εἶναι κοινὴν δύναμιν μίαν ἔχουσάν πως πρὸς πάσας τὰς αἰσθήσεις· καὶ αὕτη ἡ ἐνέργεια ἐστὶ τὸ διακρίνειν τὰ
f. 325ᵛ αἰσθητὰ | ἀπ' ἀλλήλων· καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσιν ἐφόσον ἑαυτὴν δύναται ἐκτείνειν ἡ κρίσις τῆς ἰδίας αἰσθήσεως· δεύτερον, ζητεῖ περὶ ἐκείνης τῆς κρίσεως τῶν αἰσθητῶν, ἥτις ὑπερεκτείνεται τῆς δυνάμεως

---

2 *κατ'* (1°) om B 4 *τὸ* om B 37-38 *δεύτερον — αἰσθήσεως* om A

τῆς ἰδίας αἰσθήσεως, ἐν τῷ· Ἐπεὶ δὲ καὶ τὸ λευκόν. Λέγει τοίνυν, πρῶτον, ὅτι ἐκ τῶν εἰρημένων φανερὸν ἐστίν, ὅτι ἑκάστη αἴσθησις γνωστική ἐστι τοῦ ὑποκειμένου αὐτῇ αἰσθητοῦ, οὗτινος τὸ εἶδος ἐστὶν ἐν τῷ ἰδίῳ ὀργάνῳ, καθόσον ἐστὶ τοιόνδε ὄργανον· μεταβάλλεται γὰρ τὸ ὄργανον ἑκάστης αἰσθήσεως ὑπὸ τοῦ ἰδίου ἀντικειμένου τῆς αἰσθήσεως καθαυτό, καὶ οὐ κατὰ συμβεβηκός, καὶ ἑκάστη αἴσθησις διακρίνει τὰς διαφορὰς τοῦ ἰδίου αἰσθητοῦ, ὥσπερ ἡ ὄψις διακρίνει τὸ λευκὸν καὶ τὸ μέλαν, ἡ δὲ γεῦσις τὸ γλυκὺ καὶ πικρόν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων ἔχει.

Ἐπεὶ δὲ καὶ τὸ λευκόν. Ἐνταῦθα δείκνυσι τίνι χρὴ ἀποδίδοσθαι τὴν διάκρισιν, ἥτις ὑπερβαίνει τὴν ἰδίαν αἴσθησιν, δηλονότι τὸ διακρίνειν τὸ αἰσθητὸν μιᾶς αἰσθήσεως ἀπὸ τοῦ αἰσθητοῦ ἄλλης αἰσθήσεως, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, διορίζεται τὴν ἀλήθειαν· δεύτερον, ἀντιτίθησι κατὰ τῆς ἀληθείας καὶ λύει, ἐν τῷ· Ἀλλὰ μὴν ἀδύνατον. Περὶ τὸ πρῶτον τρία ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι αἴσθησις ἐστὶν ἡ διακρίνουσα τὸ λευκὸν καὶ τὸ γλυκὺ καὶ διαιροῦσα αὐτά· δεύτερον, δείκνυσιν ὅτι οὐκ εἰσὶ δύο δυνάμεις αἰσθήσεως ἀλλὰ μία, ἐν τῷ· Οὔτε δὲ κεχωρισμένῳ· τρίτον, ὅτι ἅμα ἐκείνη ἡ δύναμις διακρίνει ἑκάτερον αἰσθητόν, ἅπερ ἀλλήλων διαιρεῖ, ἐν τῷ· Ὅτι δὲ οὐδ' ἐν κεχωρισμένῳ. Φησὶ τοίνυν ὅτι, ἐπεὶ διακρίνομεν δυνάμει τινὶ οὐ μόνον τὸ λευκὸν ἀπὸ τοῦ μέλανος, ἢ τὸ γλυκὺ ἀπὸ τοῦ πικροῦ, ἀλλ' ἔτι καὶ τὸ λευκὸν ἀπὸ τοῦ γλυκέος, καὶ ἕκαστον αἰσθητὸν ἀφ' ἑκάστου, καὶ αἰσθανόμεθα ὅτι διαφέρουσι, δεῖ τοῦτο γίνεσθαι δι' αἰσθήσεως, διότι τὸ γινώσκειν τὰ αἰσθητά, καθόσον εἰσὶν αἰσθητά, ἐστὶ τῆς αἰσθήσεως· γινώσκομεν γὰρ τὴν διαφορὰν τοῦ λευκοῦ καὶ τοῦ γλυκέος οὐ μόνον ὅσον πρὸς τὸ τί ἐστιν ἑκατέρου, ὅπερ ἀνήκει τῷ νῷ, ἀλλὰ καὶ ὅσον πρὸς τὴν διάφορον μεταβολὴν τῆς αἰσθήσεως, καὶ τοῦτο ἀδύνατον γίνεσθαι εἰ μὴ δι' αἰσθήσεως. Καὶ εἰ διά τινος αἰσθήσεως γίνεται τοῦτο, μάλιστα δοκεῖ γίνεσθαι διὰ τῆς ἁφῆς, ἥτις ἐστὶ πρώτη τῶν αἰσθήσεων καὶ τρόπῳ τινὶ ῥίζα καὶ θεμέλιον πασῶν τῶν αἰσθήσεων, καὶ ἀφ' ἧς ἔχει τὸ ζῷον τὸ λέγεσθαι αἰσθητικόν. Ὅθεν φανερόν ἐστιν, ὅτι ἡ σὰρξ οὐ λέγεται ἔσχατον ὄργανον τῆς αἰσθήσεως τῆς ἁφῆς, διότι, ἐπεὶ διὰ τῆς αἰσθήσεως τῆς ἁφῆς γίνεται ἡ διάκρισις, ἀνάγκη ἐστὶν ἐν αὐτῇ τῇ ἐπαφῇ τῆς σαρκὸς ἀπὸ τοῦ ἁπτοῦ γίνεσθαι τὴν διάκρισιν τοῦ ἁπτοῦ ἀπὸ τῶν ἄλλων αἰσθητῶν· Ἀποδίδοται δὲ αὕτη ἡ διάκρισις τῇ ἁφῇ, οὐ καθὸ ἡ ἁφή ἐστιν ἰδία αἴσθησις, ἀλλὰ καθὸ ἐστὶ θεμέλιον πασῶν τῶν αἰσθήσεων καὶ προσεχέστερον ἔχουσα πρὸς τὴν πηγαίαν ῥίζαν πασῶν τῶν αἰσθήσεων, ἥτις ἐστὶν ἡ κοινὴ αἴσθησις.

Οὔτε δὴ κεχωρισμένοις. Ἐνταῦθα δείκνυσιν, ὅτι τῆς αὐτῆς αἰσθήσεως ἐστὶ τὸ διακρίνειν τὸ λευκὸν ἀπὸ τοῦ γλυκέος. Δυνατὸν γὰρ

---

27 *τοῦτο* après *δοκεῖ* add B 31 *ἡμῖν* après *γίνεται* add B

Ε.Υ.Δ της ΚΒ' ΙΩΑΝΝΙΝΑ 2006